# ΗΣΑΙΑΣ

1 [1]Ὅρασις, ἣν εἶδεν Ησαιας υἱὸς Αμως,
ἣν εἶδεν κατὰ τῆς Ιουδαίας καὶ κατὰ Ιερουσαλημ ἐν βασιλείᾳ
Οζιου καὶ Ιωαθαμ καὶ Αχαζ καὶ Εζεκιου, οἳ ἐβασίλευσαν
τῆς Ιουδαίας.
2 [2]Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι κύριος ἐλάλησεν· υἱοὺς
3 ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. [3]ἔγνω βοῦς τὸν κτησά-
μενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ισραηλ δέ με οὐκ
4 ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν. [4]οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς
πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι· ἐγκατελίπατε τὸν
5 κύριον καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ισραηλ. [5]τί ἔτι πληγῆτε
προστιθέντες ἀνομίαν; πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία
6 εἰς λύπην. [6]ἀπὸ ποδῶν ἕως κεφαλῆς οὔτε τραῦμα οὔτε μώλωψ
οὔτε πληγὴ φλεγμαίνουσα, οὐκ ἔστιν μάλαγμα ἐπιθεῖναι οὔτε ἔλαιον
7 οὔτε καταδέσμους. [7]ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυ-
στοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν,
8 καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. [8]ἐγκαταλειφθή-
σεται ἡ θυγάτηρ Σιων ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυ-
9 λάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη· [9]καὶ εἰ μὴ κύριος
σαβαωθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σοδομα ἂν ἐγενήθημεν καὶ
ὡς Γομορρα ἂν ὡμοιώθημεν.
10 [10]Ἀκούσατε λόγον κυρίου, ἄρχοντες Σοδομων· προσέχετε νόμον
11 θεοῦ, λαὸς Γομορρας. [11]τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει
κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν καὶ στέαρ ἀρνῶν καὶ
12 αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, [12]οὐδ᾽ ἐὰν ἔρχησθε ὀφθῆναί
μοι. τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν
13 αὐλήν μου [13]οὐ προσθήσεσθε· ἐὰν φέρητε σεμίδαλιν, μάταιον·
θυμίαμα βδέλυγμά μοί ἐστιν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα
14 καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν [14]καὶ τὰς
νουμηνίας ὑμῶν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ
15 μοι εἰς πλησμονήν, οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. [15]ὅταν τὰς

Is.: BSA. — de Q et *L* = 22 (36) 48 51 (62 93 147) et *C* = 87 91 97 cf. Os.; signa hexaplaria plerumque in codice Q tradita sunt.

Inscr. ησαιας BS, ησαιας προφητης ιγ′ A: cf. Os. inscr.

**1** 1 αχαζ] αχας BA†: cf. Regn. IV 16 2 || 4 του > S*† | fin.] + απηλλοτριωθησαν εις τα οπισω *LC* (in *O* sub ※) || 5 ανομιας S*L* || 6 κεφαλης] + ουκ εστιν εν αυτω ολοκληρια *LC* (in *O* sub ※) || 8 αμπελωσιν S† || 10 νομον] λογον S* || 12 ουδ εαν (uel ουδε αν) S*V*C*†] ουδε εαν *L*, ουδ αν BS^c^AQ || 13 φερητε] + μοι A*L* || 14 και τας 1⁰ ⌒ 2⁰ S*L*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/570 UNIVERSITÄT LEIPZIG